ΚΑΡΟΛΟΥ ΟΛΖΙΓΓΗΡΟΥ

ΠΕΡΙ ΤΩΝ

ΠΑΡ' ΑΡΙΣΤΟΦΑΝΕΙ ΑΠΟ ΤΗΣ ΛΕΞΕΩΣ ΠΑΙΔΙΩΝ

ΠΡΟΣ ΟΥΗΚΛΕΙΝΟΝ ΕΠΙΣΤΟΛΗ.

ΕΝ ΒΙΕΝΝΗι.
ΠΑΡ' ΟΙΛΔΗΡΩι.
,αωοζ'

Herrn Prof. Dr. Joh. Vahlen
in ausgezeichneter Hochachtung u. dankbarer Verehrung
ein ehemaliger Schüler.

Wien, Theresian. Academie 29/10 77.

ΚΑΡΟΛΟΥ ΟΛΖΙΓΓΗΡΟΥ

ΠΕΡΙ ΤΩΝ

ΠΑΡ' ΑΡΙΣΤΟΦΑΝΕΙ ΑΠΟ ΤΗΣ ΛΕΞΕΩΣ ΠΑΙΔΙΩΝ

ΠΡΟΣ ΟΥΗΚΛΕΙΝΟΝ ΕΠΙΣΤΟΛΗ.



ΕΝ ΒΙΕΝΝΗι.

Π Α Ρ' Ο Ι Λ Δ Η Ρ Ωι.

,αωοζ'

[illegible]

in ausgezeichneter Hochachtung u. [illegible]

ein ehemaliger Schüler.

Wien, Theresian. Academie 29/10 77.

ΚΑΡΟΛΟΥ ΟΛΖΙΓΓΗΡΟΥ

ΠΕΡΙ ΤΩΝ

ΠΑΡ' ΑΡΙΣΤΟΦΑΝΕΙ ΑΠΟ ΤΗΣ ΛΕΞΕΩΣ ΠΑΙΔΙΩΝ

ΠΡΟΣ ΟΥΗΚΛΕΙΝΟΝ ΕΠΙΣΤΟΛΗ.



ΕΝ ΒΙΕΝΝΗι.

Π Α Ρ' Ο Ι Λ Δ Η Ρ Ωι.

,αωοζ'

Ὀλζιγγῆρος Οὐηκλείνῳ χαίρειν.

Συχνοῦ περ χρόνου διαγενομένου, ἐξ οὗ ἐν ταῖς Ἰηναίαις ἐφημερίσι*) τὴν γνώμην ἀπεφήνω, ὡς πολλαὶ ἔτι ἀπὸ τῆς λέξεως παιδιαὶ λάθοιεν ἐν ταῖς Ἀριστοφάνους κωμῳδίαις ἐνοῦσαι, ὅμως οὐ φοβούμενος μὴ παράκαιρόν τι καὶ ἄλογον παντάπασι πρᾶγμα δόξοιμι ἐπιχειρῆσαι, περὶ τῶν αὐτῶν μέν, περὶ ὧν καὶ πέρυσιν,**) σοὶ δέ, ἅτε πατρὶ ὄντι τοῦδε τοῦ λόγου, ὥςπερ ἐξ ἐναντίας ἐβουλευσάμην διαλεχθῆναι. πολλῆς γὰρ οὔσης τῶν περὶ Ἀριστοφάνη σπουδαζόντων ἀφθονίας, σπανίζουσιν οἱ ἐν τοῖς σκώμμασιν αὐτοῦ ἡδέως διατρίβοντες· οὐ γὰρ φιλογέλοιον, ἀλλὰ σκυθρωπὸν ὡς ἐπὶ τὸ πολὺ τὸ τῶν φιλολόγων γένος. σοὶ δέ, ὦ βέλτιστε, οὐ μὴ γελασόμενος ἐπὶ τοῖς τοῦ ποιητοῦ αὐτὸς γέλωτα ὄφλω· οὐ γὰρ ἂν περὶ ταῦτα ἐμοὶ σπουδὴν ἐποιήσω.

Διὰ τί τοίνυν τὸ σὸν μάλιστα ὄνομα ἔμελλον τῷ λόγῳ τοιούτῳ ὄντι ἀναγράψειν, ἱκανῶς μοι δοκεῖ εἰρῆσθαι. πολὺ μᾶλλον δ' ἂν ἴσως καὶ σύ, ὦγαθέ, θαυμάζοις με, ἅμα δὲ καὶ γελῴης ἂν ἠρέμα ἐπὶ τῇ πολλῇ τοῦ ἑλληνιστὶ τὰ τοιαῦτα βούλεσθαι συγγράφειν κακοδαιμονίᾳ. μηδενὸς γάρ, ὡς συνελόντι εἰπεῖν, τῶν καθ' ἡμᾶς φιλολόγων οἵου τε ὄντος ἑλληνίζειν πολλοὶ ἔσονται οἱ πικρῶς μ' ἐξελέγξοντες οὐδενὸς βέλτιον χελιδονίζοντα· προςέτι δὲ καὶ ὡς ἀποσε-

*) *Ἰηναῖαι ἐφημ.* ‚αωος' [51, 795].

**) C. Holzinger, de verborum lusu apud Aristophanem. Vindobonae, sumptibus A. Hoelderi. 1876.

μινυνόμενόν τε καὶ διακενῆς βρενθυόμενον λέπαδνά με κατατεμοῦσι καὶ καταμυττωτεύσουσιν, ὥςτε μ' οὐκ ἂν φθάνειν ἀπολογούμενον. εὔπορος μὲν δὴ ἔσται ἀπολογία πρὸς τοὺς ἀληθῶς κριτὰς τῶν τοιούτων, τοὺς τὰ Ἀριστοφανικὰ εὖ συγκεκροτημένους· πολλὰ γὰρ πολλαχῇ φιλεῖ κακεμφάτως λέγειν ὁ ποιητὴς καὶ συνίσασιν αὐτῷ αἰσχρολογοῦντι, οἳ ἂν περὶ τῶν αὐτοῦ κωμῳδιῶν δεινοὶ ὦσιν. εἰ δ' οὖν ἔνεστι πολλὰ ἐν τούτοις τοῖς δράμασι, περὶ ὧν ῥωμαϊστί — μὴ γὰρ γερμανιστί — γράφειν αἰδὼς κωλύει, τίνι ποτὲ ἥδιον ἂν χρησαίμην ἢ αὐτῇ τῇ περὶ οὗ γεγράψεται ταῦτα ποιητοῦ γλώσσῃ; καὶ τὸ μέγιστον, ᾧπερ μᾶλλον ἄν τις ἄχθοιτο τῶν τοὺς νεωτερίζειν τι δοκοῦντας καθ' ἕκαστα βασκαινόντων, πολλαῖς Ἀριστοφάνους λέξεσι χρώμενος τἄπη, τὰ μέλη, τὰ νεῦρα τῶν αὐτοῦ δραμάτων προςποιήσομαι τὴν ἐμὴν σκοροδάλμην τοῖς αὐτοῦ ῥηματίοις ὑπογλυκαίνων. πρόθυμος δ' ὤν, ὧν εὖ πέπονθα, ἀντευποιεῖν τὸν κωμικὸν καὶ ἀστειοτάτας τινὰς αὐτοῦ ἐπινοίας ἐκκαλαμώμενος καινοτομεῖν τῇ ἑρμηνείᾳ, μεθέξω τῆς τῶν ἑλληνιστὶ λεγόντων παῤῥησίας· οὐ γάρ ἐστιν ἀπὸ κραμβοτάτου στόματος καὶ ὡς ἀληθῶς ἀληθεύειν περὶ τὰ τοιαῦτα, εἰ μὴ ἑλληνίζοντα. καὶ δὴ καὶ ἀριστοφανίζοντος ἐμοῦ αὐτοὶ ἐσόμεθα οἱ τὰ Ἀριστοφανικὰ μεμυημένοι, οὐδὲ εἷς ἔσται ἔκφορος λόγου· οὔκουν οἵ γε βέβηλοι ἡμῖν ἐνοχλήσουσιν. εἰ δὲ ἡττηθέντες ὑπὸ τοῦ φθονεροῦ καὶ τῆς τοῦ ἀπαξάπαντα ψέγειν ἐπιθυμίας, καίπερ μηδ' ὁτιοῦν ὑγιὲς ἔχοντες αὐτοὶ περὶ Ἀριστοφάνους ἀριστοφανίζειν, μιαρᾷ φωνῇ κεκραγότες ἐπιθεῖντό μοι μέγα ἐγχανούμενοι, οὐκ ἂν οὐδὲ στριβιλικίγξ, ὦ βέλτιστε, προςποιησαίμην. οἶδα γὰρ θρίων τὸν ψόφον, οὐδ' ἄπειρός εἰμι ἔγωγε τοῦ Λουκιανικοῦ τοῦδε, ὅτι οἱ μὲν πολλοὶ θεαταὶ ἴσασι κροτῆσαί ποτε καὶ συρίσαι, κρίνουσι δὲ ἑπτὰ ἢ ὅσοι δή. τούτοις οὖν ἀναθεὶς τὸν περὶ τουτωνὶ ἀγῶνα καὶ δὴ καὶ σοὶ μάλιστα, ὦ βέλτιστε, ὡς προτένθῃ ὄντι τῶν τοιούτων ἡδυσμάτων προκαταρξάμενος, ὅθενπερ

ἐξέβην, ὡς πατήρ μοι εἴης τουτουὶ τοῦ λόγου, εἰς τοῦτο ἐπανέρχομαι.

Ἐν ταῖς μὲν οὖν Ἰηναίαις ἐφημερίσιν οὐ μόνον αὐτὸς ὑπέστης περὶ καινῶν τινων ἀπὸ τῆς λέξεως παιδιῶν τι διηγήσασθαι, ἀλλὰ καὶ τὸ σύμπαν τὴν γνώμην ἀπεφήνω, ὡς πολλὰ τὰ τοιαῦτά γ' ἔτι λάθοι τοὺς φιλολόγους ἀνεξέλεγκτα. ἐγὼ μὲν δή, ὦγαθέ, πέρυσιν ἤδη δώδεκα ἀνευρὼν τοῦ κωμικοῦ παιδιὰς ἀγνῶτας οὔσας τοῖς ἄλλοις ἀνεκοινωσάμην, ἅμα δὲ καὶ τὰς ἄλλας τὰς μέχρι νῦν γνωρίμους διεξελθὼν ὑπεμνήσθην, ὡς πάνυ μεγάλης δέοι περί τά γε τοιαῦτα ἐμπειρίας τε καὶ προνοίας. σοῦ δ' οὖν λέγοντος ἐκεῖνον τὸν λόγον, πῶς μ' οἴει, ὦ βέλτιστε, ἅπαντα αὖθις διερευνῆσαι καὶ πάντα λίθον, ὡς ἔπος εἰπεῖν, κινῆσαι; πανὺ καλὴν γὰρ προυθέμην ἐλπίδα, ἢ σέ γε ψευσθέντα τῆς γνώμης ἐξελέγξειν, ἢ σοῦ μὲν ἀνελέγκτου γενομένου, αὐτὸς ῥᾷον ἂν ἕξειν τι περὶ καινῶν τινων παιδιῶν προχειρίσασθαι.

Καὶ τὰς ἕνδεκα μὲν δὴ κωμῳδίας πάλιν ἀναγιγνώσκοντί μοι καὶ πάντας ἐφεξῆς στίχους ἀκριβέστερον ἔτι δοκιμάζοντι ἄτοπόν τι καὶ ἀηδές, ἕτερον δὲ τοὔμπαλιν ἥδιστον καὶ εὐτυχέστατον πρᾶγμα ἔδοξε συμβῆναι. πολλαὶ γὰρ ἀπὸ τῆς λέξεως παιδιαί, λέγω δὲ τὰς ὑπ' ἄλλων ἀνευρεθείσας, ὧν λόγον οὐδένα ἐποιησάμην ἐν τῷ πρόσθεν ἔτει, ὡς διὰ τέλους ἐν ἀμφισβητησίμῳ ἐσομένων, ὕστερον ἐναργῶς οὖσαι ἀπὸ τῆς λέξεως παιδιαὶ κατάδηλοι ἐγένοντό μοι, ὥςτε ἐνδεᾶ φαίνεσθαι ἐν τῷ παρόντι τὸν τότε τῶν τοιούτων κατάλογον. καὶ πρῶτον μὲν οὖν ὀργισθεὶς τῆς φύσεως τῷ ἀσταθμήτῳ ἐμαυτὸν κατεμεμψάμην, δι' ὅτι οὐ πρότερον ταὐτὰ περὶ τῶν αὐτῶν διεγνωκὼς εἴην, ὥςτε εἰ μὴ τοῖς ἄλλοις, ἀλλ' αὐτός γ' ἂν ἐμαυτῷ δοκεῖν ὡμολογηκέναι· ἔπειτα δ' ἀνεθάῤῥησα ἐνθυμηθείς, ὡς αἱ Ἀριστοφάνους παιδιαὶ οὔτε λίθου οὔτε ξύλου εἶεν πεποιημέναι, ἅπερ ἔστιν ἢ σταθμησάμενον ἢ μετρήσαντα βεβαίως διορίσασθαι, ἀλλὰ κατόπτρων μηδὲν διαφέρειν αὐτάς, ἐν οἷς, ὅσῳ ἄν τις

ἥδιον γελᾷ ἐνοπτριζόμενος, τοσούτῳ γελοιότερον πρόςωπον φιλεῖ ἐμφαίνεσθαι. πρᾳότερον δ' ἔτι ἔφερον τὴν συμφορὰν ταύτην παρὰ μὲν προςδοκίαν, ἀλλ' οὐ παρὰ τὴν φύσιν τῶν τοιούτων ζητήσεων γεγονυῖαν, καταμαθών, ὅτι γράφων ταδὶ οὐ μόνον τὴν ὑπ' ἄλλων μεμαγμένην μᾶζαν μέλλοιμι ἀναμασᾶσθαι, ἀλλὰ καὶ οἷός τ' εἴην ἴδιόν τι μέχρι νῦν ἕρμαιον κοινὸν κτῆμα πᾶσι γενησόμενον ἐπιδείξεσθαι.

Ἃς μὲν οὖν πέρυσιν ἤδη χρῆν ὑπ' ἐμοῦ καταλεχθῆναι, εἰσὶν αἵδε· ἐν Ἀχαρνέων στίχοις [89—90]*) φέναξ — ἐφενάκιζες, [104—108] χαυνόπρωκτ' — ἀχάνας, [165—166] τὰ σκόροδ' — ἐσκοροδισμένοις, [183] σπονδάς, [380] κατεγλώττιζέ μου, [526] πεφυσιγγώμενοι, [725—726] συκοφάντης — Φασιανός, [751] διαπεινᾶμες (πεινῶμεν, πίνομεν), [850] περιπόνηρος (περιφόρητος), [1120] τοὔλυτρον — τοῦδ' ἀντέχου (κακεμφάτως).

Ἐν τοῖς Ἱππέων στ. [2] Παφλαγόνα (919 παφλάζει), [20] ἀπόκινον (ὑπαποκινεῖν), [437] καικίας (Καικίας — κακίας), [517] πειρασάντων — χαρίσασθαι, [1044] ἀντὶ τοῦ λέοντος — Ἀντιλέων, [1086] ἐρυθρὰ θάλασσα — ἐπίπαστα, [1256] Φανός, [1278] Ἀρίγνωτον οὐδεὶς ὅςτις οὐκ ἐπίσταται.

Ἐν τοῖς Νεφελῶν στ. [674] ταὐτὸν δύναταί σοι κάρδοπος Κλεωνύμῳ, [718—722] φροῦδα — φρούδη — φρουρᾶς — φροῦδος, [859] ἀπώλεσα (ἀνήλωσα), [1001] Ἱπποκράτους υἱέσι (ὑσίν).

Ἐν τοῖς Σφηκῶν στ. [380] Διοπείθους, [1165] μισολάκων, [1209] ξυνουσιαστικός, [1371—1372] Δαρδανίς — δᾴς, [1377] ὄζος (ὄζω).

---

*) *Ἐξέγραφον τοὺς Ἀριστοφάνους στίχους ἐκ τῆς Βερκίου ἐκδόσεως. ἐσημείουν δ' αὐτοὺς τοῖς ἀραβικοῖς ἀριθμῶν σημείοις, καθάπερ Δυβνῆρος ἐν τῇ τῶν σχολίων ἐκδόσει. οὐ γὰρ ἠρίθμουν τοὺς στίχους οἱ παλαιοὶ κατὰ τοὺς καθ' ἡμᾶς φιλολόγους.*

Ἐν τοῖς Εἰρήνης στ. [28] ὥςπερ γυναικὶ γογγύλην μεμαγμένην, [376—378] πρὸς τῶν θεῶν — πρὸς τῶν κρεῶν, [453—454] παιὼν — παίειν, [465] ὀγκύλλεσθ' (ὀγκᾶσθε), [690—692] λυχνοποιός — ἐν σκότῳ — πρὸς λύχνον, [728] ἐστυκότες (ἑστηκότες), [774] λαμπρὸν τὸ μέτωπον, [867] κινεῖν τε καὶ καθεύδειν, [891—892] ὀπτάνιον — κεκάπνικεν.

Ἐν τοῖς Ὀρνίθων στ. [28] ἐς κόρακας, [121] εὔερον, [1695] Κλεψύδρα, [1206] τρίορχος, ἐν τοῖς Λυσιστράτης στ. [299—301] Λήμνιον — λῆμας, ἐν τοῖς Βατράχων στ. [95—96] προςουρήσαντα — γόνιμον, ἐν τοῖς Ἐκκλησιαζουσῶν στίχοις [741] ὄρθριον (ὄρθιον), [1089—1091] Καννώνου ψήφισμα — διαλελημμένον — δικωπεῖν, [906 τρῆμα], ἐν τοῖς Πλούτου στ. [453] τροπαῖον — τρόπων, [1024] τάφόδια.

Ταῦτα μὲν οὖν καὶ τοσαῦτα παρέλιπον ἐν ἐκείνῳ τῷ συγγράμματι, ὧν τὰ πλεῖστα τότε μὲν ἔκρινα εἶναι τῶν ἀπὸ πράγματος παιδιῶν, νῦν δὲ ταῖς ἀπὸ τῆς λέξεως προςέγραψα.

Ἀλλὰ προχωρῶμεν δή, εἰ συνδοκεῖ σοι, εἰς ἐκείνας, τὰς καινὰς λέγω, ἀπὸ τῆς λέξεως παιδιάς. εἰσὶν δὲ αἵδε·

Ἐρωτηθεὶς ὑπὸ τοῦ Νικίου· ‚πόθεν οὖν ἂν ἔτι γένοιτο πώλης εἷς μόνος' ἀποκρίνεται ὁ σύνδουλος·

[Ἱππ. στ. 141] ἔτ' ἐστὶν εἷς ὑπερφυᾶ τέχνην ἔχων. τὸν γὰρ ἀλλαντοπώλην σημαίνει. διὰ τί οὖν προςβάλλει τὸ ὑπερφυᾶ; δῆλον γὰρ ὅτι οὐ μόνον θαυμαστήν τινα τέχνην λέγει· οὐ γὰρ ταὐτὸ δύναται τὸ ὑπερφυὲς τῷ θαυμαστῷ, ὡς ἄλλοις γέγραπται ἐν τοῖς ὑπομνήμασιν· οὔκουν τούτῳ γ' ἂν ἐχρῆτο τῷ ἐπιθετικῷ ὁ ποιητής, εἰ μὴ εἰς γελοιότερόν τι ὑπαινιξόμενος. τί οὖν ἐστι τοῦτο; ἀλλ' ὅρα, ὦγαθέ, μὴ τὸν ἀλλᾶντα λέγῃ, οὗπερ τοῖν χεροῖν τῷ σχηματισμῷ μιμούμενος τὸ μῆκος ἐναργέστατ' ἄν, τίνα λέγοι τὴν ὑπερφυᾶ

τέχνην ταύτην, ἔχοι ἂν παραδηλῶσαι. ἔπαιξεν οὖν εἰς τὸ φαῦλον τῆς τέχνης καὶ πρὸς τὸ μῆκος τῶν ἀλλάντων.*)

Ἕτερον νῦν μὲν δὴ ἀνάγνωθί μοι τῶν Ἱππέων στίχον, ἐν ᾧ ὁ Δημοσθένης λέγει πρὸς τὸν ἀλλαντοπώλην·

[στ. 217] τὰ δ' ἄλλα σοι πρόςεστι δημαγωγικά
καὶ προςτίθησι ‚φωνὴ μιαρά, γέγονας κακῶς, ἀγόραιος εἶ·

καὶ φανερὸς μέν ἐστιν ὁ ποιητὴς καθαπτόμενος τῶν πολιτευομένων, ἅμα δὲ καὶ οὐ μόνον τοῖς πολιτικοῖς σύμφωνα ταῦτα λέγει, ἀλλὰ καὶ τῷ μαγείρῳ καὶ ἀλλαντοπώλῃ. καὶ γὰρ τούτων μιαρὰ φωνὴ ὥςπερ οἰκεία ἐστίν, ὅτι δ' ἀφανεῖς εἰσι τὸ γένος καὶ τὰ πλεῖστα περὶ τὴν ἀγορὰν διατρίβουσιν οὐδενὸς δεῖ ἐλέγχου.**) λέγων δὲ ταῦτα ὁμοίως εἰς ἀμφοτέρας τὰς τέχνας, τήν τε τῶν πολιτικῶν καὶ τῶν μαγείρων, ὥςπερ καὶ τὸ ταράττειν καὶ χορδεύειν, τό τε τὸν δῆμον προςποιεῖσθαι***) καὶ τὸ ὑπογλυκαίνειν, ὡςαύτως δοκεῖ μοι ὁ ποιητὴς καὶ τῷ δημαγωγικὰ χρήσασθαι ἀμφιβόλως, ὥςτε εἰς τὸν δῆμόν τε παίζειν καὶ τοὺς πολιτικούς, ὁμοῦ δὲ καὶ εἰς τὸν δημὸν καὶ τοὺς μαγείρους.

Παραπλησίως ὁ Στρεψιάδης λέγει ἐν ταῖς Νεφέλαις·
[στ. 37] δάκνει με δημαρχός τις ἐκ τῶν στρωμάτων
οὐχ ἁπλῶς παρὰ προςδοκίαν †) παίζων ἀντὶ τοῦ κόρις, ††) ἀλλ' εἰς τὸν δημὸν αἰνιττόμενος, ὥςπερ εἰ ἔλεγεν· ὁ κόρις ἄρχει τοῦ δημοῦ, ὡς κύριός τις γενόμενος τοῦ δήμου.

Χαριεστάτην τινὰ παιδιὰν ἕξεις τινὶ τῶν τοῦ ἐν Ἱππεῦσι χοροῦ στίχων [841] συμβαλὼν τὸν τοῦ ἀλλαντοπώλου [847]

---

*) *Εἰρην.* [229.] *ὑπερφυᾶ τὸ μέγεθος, Πλ.* [750.] *ὄχλος ὑπερφυὴς ὅσος.*

**) *ἰδὲ τοὺς ἐν Ἱππ. στ.* [1236—1247.]

***) De verb. lusu 23.

†) d. v. l. 9—11.

††) d. v. l. 43.

καὶ τοὺς ἐκ τούτου ἐχομένους. λέγει γὰρ ὁ τῶν Ἱππέων χορὸς πρὸς τὸν Ἀγοράκριτον·

[Ἱππ. στ. 841] ... μὴ μεθῇς τὸν ἄνδρ', ἐπειδή σοι λαβὴν δέδωκεν.

διεσύρθη γὰρ ὁ Κλέων ὡς ἀργύριον δωροδοκήσας ἀπὸ τῶν Μυτιληναίων. ἀποκριναμένου οὖν τοῦ βυρσοπώλου, ὡς οἷός τέ ἐστι τοὺς ἑαυτοῦ ἐχθροὺς ἐπιστομίζειν

[στ. 846] ἕως ἂν ᾖ τῶν ἀσπίδων τῶν ἐκ Πύλου τι λοιπόν

εὐθὺς ὁ ἀλλαντοπώλης ἀμείβεται λόγῳ τοιῷδε·

[στ. 847 κτλ.] ἐπίσχες ἐν ταῖς ἀσπίσιν· λαβὴν γὰρ ἐνδέδωκας.
οὐ γάρ σ' ἐχρῆν, εἴπερ φιλεῖς τὸν δῆμον, ἐκ προνοίας
ταύτας ἐᾶν αὐτοῖσι τοῖς πόρπαξιν ἀνατεθῆναι κτλ.

διὰ τί οὖν τὸ δεύτερον ἐχρήσατο ὁ κωμικὸς τῷ λαβὴν γὰρ ἐνδέδωκας; δῆλον γὰρ ὅτι οὐκ ἀπὸ ταὐτομάτου γέγονε τοῦτο, ἐπεὶ παντάπασι ταὐτὸ δύναται τὸ διδόναι λαβὴν τῷ ἐνδιδόναι καὶ τῷ παραδιδόναι. οὔκουν παίζει τῷ λαβὴν ἐνδέδωκας εἰς τὸ λαβὴν δέδωκεν, ἄλλως τε καὶ πολλῆς ἂν γενομένης ἀνάγκης εἰπεῖν ἐν τῷ προτέρῳ στίχῳ ‚ὅταν σοι λαβὴν δῶ' καὶ ἐν τῷ ὑστέρῳ ‚νῦν γάρ' ἢ ‚τὴν γὰρ λαβὴν δέδωκας', εἰ μὴ περὶ δωροδοκίας, ἀλλὰ περὶ τῶν ἀσπίδων ἠβουλήθη λόγον ποιεῖσθαι. εἰ δὲ μηδεμία μηχανή, ὥςτε τὸ τοῦ ἀλλαντοπώλου εἰς τὸν τοῦ χοροῦ στίχον [841] ἐπαναφέρειν, ἄλλην δὲ δεῖ ζητεῖν αἰτίαν, δι' ἣν καίπερ κομψότατος ὢν ποιητὴς ταὐτῷ ῥήματι αὖθις ἐχρήσατο, ἀγαπήσομεν τὴν τούτου τοῦ ῥήματος ἀμφιβολίαν. λέγων γὰρ τὸ λαβὴν ἐνδέδωκας διαβάλλει αὐτὸν ὡς τὰς λαβάς, τοῦτ' ἐστὶ τοὺς πόρπακας ἐνδεδωκότα ἢ ἐντεθεικότα ταῖς ἀσπίσιν, ὅπερ ἐν τοῖς ἀπὸ τοῦδε στίχοις σαφέστερον ἔτι δηλοῦται. διὰ τοῦτο γοῦν ἐρρήθη καὶ τὸ ἐπίσχες ἐν ταῖς ἀσπίσι καὶ τὸ ‚οὐ γάρ σ' ἐχρῆν ταύτας ἐᾶν αὐτοῖσι τοῖς πόρπαξιν ἀνατεθῆναι'.

Καὶ τοσαῦτα μὲν περὶ τῶν Ἱππέων. ἐν δὲ τοῖς Ὄρνισι λέγει πρὸς τὸν Πειθέταιρον ὁ συκοφάντης·

[στ. 1453—1456] ἀλλὰ πτέρου με ταχέσι καὶ κούφοις πτεροῖς
ἱέρακος, ἢ κερχνῇδος, ὡς ἂν τοὺς ξένους
καλεσάμενος, κᾆτ' ἐγκεκληκὼς ἐνθαδί,
κᾆτ' αὖ πέτωμαι πάλιν ἐκεῖσε κτλ.

ἀκούοντες δὲ αὐτὸν ἱέρακα γενόμενον καὶ ἐγκεκληκότα βούλεσθαι ἄλλοσε ἀποπέτεσθαι παραυτίκα συνίεμεν τὸν κωμικὸν παίζειν πρὸς τὴν τῶν ἱεράκων φύσιν. κούφοις γάρ ἐπιπτόμενοι πτεροῖς ὀξὺ κεκληγότες οἴχονται.

Καὶ ἐν τοῖς Βατράχοις ἐστί τις στίχος, περὶ οὗ ἄν τις οὐδὲν μᾶλλον, ὡς ἐμέγε συμβαλεῖν, ἐρίζοι. ὅπου γὰρ λέγει ὁ Εὐριπίδης

[Βατραχ. στ. 862] τάπη, τὰ μέλη, τὰ νεῦρα τῆς τραγῳδίας δῆλον, ὅτι τὸ μέλη διττῶς νοητέον. οὐ γὰρ μόνον μόριόν τι τοῦ δράματος σημαίνει, ὥςπερ τάπη, ἀλλὰ καὶ μέρος τι τοῦ σώματος, ὥςπερ τὰ νεῦρα, ὥςτε τεχνικώτατα μέσον κεῖσθαι αὐτὸ τῶν τριῶν ὀνομάτων.

Πολὺ κομψοτέραν ἔτι παιδιὰν εὑρήσεις ἐν Πλούτῳ, περὶ ἧς πολλὰ μὲν ὁ Ἑμστερούσιος, πολλὰ δὲ καὶ ὁ Βρούγκιος ἐλεπτολόγησαν, γενναῖον δὲ ῥῆμα ἐφθεγξάσθην οὐδέν. λέγει γὰρ ἐν ταύτῃ τῇ κωμῳδίᾳ ὁ συκοφάντης

[Πλ. στ. 944—947] ἄπειμι· γιγνώσκω γὰρ ἥττων ὢν πολὺ
ὑμῶν· ἐὰν δὲ σύζυγον λάβω τινὰ
καὶ σύκινον, τοῦτον τὸν ἰσχυρὸν θεὸν
ἐγὼ ποιήσω τήμερον δοῦναι δίκην κτλ.

φανερὸν δὲ τοὔργον· βραχέος οὖν δεῖ λόγου· περιφανῶς γὰρ συγκειμένου τοῦ σύζυγος ἐκ τοῦ τε σὺν καὶ τοῦ ζυγός, κωμικώτατα ἔκ τε τοῦ κινεῖν καὶ τῆς αὐτῆς προθέσεως τὸ σύκινον τοῦτο συνέθηκεν, ἀντὶ τοῦ εἰπεῖν σύγκινον. τὸν οὖν ἀρωγὸν ἢ παραστάτην σημαίνων τούτῳ τῷ ὀνόματι χαριέστατα ἔπαιξε πρὸς τὰ σῦκα καὶ τοὺς συκοφάντας.*) ὅτι γάρ, ὅπερ ἄλλοθί που σύκινον καλεῖται, ταὐτόν ἐστι

---

*) *Ἰδὲ τὸν ἐν τοῖς Σφηξὶ στίχον* [145].

τῷ ἀσθενεῖ καὶ ἀχρήστῳ, οὐδὲν πρὸς ἡμᾶς. οὔκουν οὐδὲ ὁ Θίρσχιος, καίπερ ὀλίγου δεῖν ἐφήψατο τοῦ ἀληθοῦς, τὸ πᾶν ἐπενόησεν.

Ἀλλ' ἰδού· ἑτέρῳ γ' ἔτι ἑρμαίῳ ἐντετύχηκα, ὥςτε αὐτὸν τὸν Πλοῦτον κινδυνεύειν ὑπ' ἐμοῦ πλουτίζεσθαι. ἐξηγεῖται γὰρ ἡ γραῦς, ἃ ἔπαθεν ὁδοιποροῦσα κατὰ τρόπον τοιόνδε·

[Πλ. στ. 1013—1016.] μυστηρίοις δὲ τοῖς μεγάλοισι νὴ Δία
ἐπὶ τῆς ἁμάξης ὅτι προςέβλεψέν μέ τις,
ἐτυπτόμην διὰ τοῦθ' ὅλην τὴν ἡμέραν.
οὕτω σφόδρα ζηλότυπος ὁ νεανίσκος ἦν.

καὶ δῆλον μὲν οὖν ὅτι οὐδαμῶς ψεύδεται ὁ Φισχῆρος λέγων ὅτι ταὐτὸ δύναται τὸ ζηλότυπος τῷ ζηλωτῇ ἢ ζηλοῦντι· ἀλλὰ καὶ ἕτερόν τι πρός, καὶ τοῦτο γελοιότατόν, μοι δοκεῖ ἐγκεῖσθαι. ζηλότυπος γὰρ καλεῖται ὁ τῆς γραὸς ἐραστὴς γενόμενος, οὐ μόνον διὰ τὸν πολὺν ἔρωτα, ἀλλὰ καὶ πολὺ μᾶλλον ὅτι τὴν γραῦν τύπτων ὅλην τὴν ἡμέραν οὐκ ἔκαμεν.

Προςθήσω ταύταις ταῖς ἀπὸ τῆς λέξεως παιδιαῖς, ἅςπερ διῆλθον νυνί, κύριά τινα ὀνόματα.*) φιλεῖ γὰρ παίζειν ὁ κωμικὸς τῶν τοιούτων ὀνομάτων ταῖς διανοίαις ἢ ἁπλῶς ἑρμηνεύων αὐτὰ κατὰ τὰ γράμματα καὶ τὰς συλλαβὰς καὶ ἐτυμολογῶν, ἃ μήποτε χρῆν ἐτυμολογεῖσθαι, ἢ καὶ πάνυ

*) *Γρασβεργῆρος λέγει ἐν τῷ περὶ τῶν παρωνυμιῶν**), *ὅτι μ' οὐκ ἐχρῆν ἐν τῷ βιβλίῳ τῷ* De verborum lusu *ἀναγεγραμμένῳ τὰς τῶν δήμων παρωνυμίας ἄλλαις τισὶν ἀπὸ τῆς λέξεως παιδιαῖς προσμῖξαι· σκωπτικωτέρας γάρ πως φαίνεσθαι αὐτὰς τῶν ἄλλων. ἀλλὰ τοῦτό γε διέψευσται, καίπερ λόγιος ὢν ἀνὴρ καὶ μυρίαν σοφίαν ἐπιδεικνύμενος. καθ' ὅσον γάρ εἰσιν ἀπὸ τῆς λέξεως παιδιαί, οὐδέν εἰσι γελοιότεραι τῶν ἄλλων, καθ' ὅσον δὲ προςεπέγκειταί τι τῶν ἀπὸ πράγματος γελοίων, πῶς τούτου μ' ἐχρῆν λόγον ποιεῖσθαι, ὅς γε καθόλου μὲν περὶ τῶν Ἀριστοφάνους παιδιῶν μηδ' ὁτιοῦν ὑπέστην διηγήσασθαι, μόνας δὲ τὰς ἀπὸ τῆς λέξεως καθ' ὅσον ὄντως εἶεν ἀπὸ ταύτης προειλόμην συλλέξας καθ' ἕκαστα ἐπισκοπῆσαι;*

*) *Ἐξεδόθη τὸ βιβλίον τοῦτο ἔξοχον ἄλλων τῆτες ὑπὸ τῆς ἐν Μακροπόλει ἀκαδημείας.*

μικρόν τι ἐνίοτε παραστρέφων. πάσῃ γὰρ τέχνῃ ὁ κωμῳδοποιὸς τῶν γελοίων ἐφίεται. καίτοι περὶ αὐτά γε μάλιστα τὰ κύρια ὀνόματα εὐλαβείας δεῖ οὐ μικρᾶς, μή τις σφαλεὶς ὁμοίαις τισὶ τῶν φωνῶν ἠχαῖς παιδιᾷ ὑπολάβῃ ἐντυχεῖν ἀπὸ τῆς λέξεως γεγονυίᾳ ἀντὶ παρηχήσεως κενῆς οὔσης καὶ ἀπὸ ταὐτομάτου καθεστηκυίας.*) ὥςπερ εἰ ὁ ποιητὴς ἐν τοῖς τοῦ ἀλλαντοπώλου καὶ Κλέωνος ἀμοιβαίοις [Ἱππ. στ. 1168.] ἐγὼ δὲ μυστίλας μεμυστιλημένας [στ. 1171.] ἐγὼ δ' ἔτνος γε πίσινον εὔχρων καὶ καλὸν πρὸς τοὺς Μυτιληναίους τι ᾐνίξατο καὶ πρὸς τοὺς ἐν τῇ Πισάτιδι Ἠλείους, νὴ Δία ἦσαν ἂν αὗται θαυμασταί τινες ἀπὸ τῆς λέξεως παιδιαί. ἀλλ' οὐ γὰρ οὐδὲν σημαίνει ἐνταυθαγὶ τῶν τοιούτων· ἄκαιρον οὖν παντάπασι τῆς τούτων τῶν ὀνομάτων ὁμοιότητος μεμνῆσθαι.

Παντελῶς γὰρ δεῖ ἔχειν τινὰ νοῦν τὴν ἀπὸ τῆς λέξεως παιδιὰν ἢ δοκεῖν γε ἔχειν,**) ὥςτε τὰς παραπλησίας λέξεις τὰς παρηχημένας ἀλλήλαις εἰκότως ἂν τοῖς μὲν καρύων κελύφεσι ὁμοιοῦσθαι, τὸν δὲ νοῦν τῆς παιδιᾶς οὐ μὲν τοῖς καρύοις, ἃ χρῆν ἐμφῦναι, ἀλλ' ἀλλοίων τινῶν ἀκροδρύων πυρῆσι παρά τήν τε τοῦ καρποῦ φύσιν καὶ παρὰ προςδοκίαν ἐνοῦσιν. ὅσῳ γὰρ παραλογωτέρα ἡ ἀπάτη, τοσούτῳ ὁ γέλως προπετέστερος.

Παίζει μὲν οὖν οὑτωσὶ ὁ Δικαιόπολις ἐν τοῖς Ἀχαρνεῦσι λέγων [στ. 75], ὦ Κρανάα πόλις' παρὰ τὸ τοῦ πρεσβευτοῦ, ἄκρατον οἶνον ἡδύν', ὥςπερ εἰ ἔλεγεν, οἱ μὲν πρέσβεις ἄκρατον οἶνον πίνοντες τρυφερῶς διῆγον, ὑμεῖς δὲ ἀληθῶς Κραναοί, τοῦτ' ἐστὶν ὑδροπόται, ἦστε, τὸν οἶνον, ἅτε χαλεποῦ ὄντος τοῦ πολέμου καὶ τῶν ἀμπέλων τετμη-

---

*) *Λέγω δὲ ταῦτα οὐ κατὰ τοὺς παλαιούς. ὁ γὰρ Ἑρμογένης ἐπὶ πάσαις ταῖς ἀπὸ τῆς λέξεως παιδιαῖς τῷ παρηχήσεως ὀνόματι ἐχρῆτο. καὶ γὰρ τὸ Πείθει τὸν Πειθίαν παρήχησιν ἐκάλεσεν.*

**) d. v. l. 15 *καὶ* 31.

μένων,*) πλείονι ὕδατι ἢ κατὰ τὸ εἰωθὸς κεραννύναι ἀναγκαζόμενοι. ἐτυμολογεῖ οὖν ὁ ποιητὴς τὸ τῶν Κραναῶν ὄνομα ἀπὸ τοῦ κεραννύναι**) ἀντὶ τοῦ κραναοῦ ἢ τραχέος καὶ πετρώδους, ὅπερ κατὰ τὴν κοινὴν διάλεκτον σημαίνει. οὐ γὰρ ἂν ἐξῆν τῷ κωμικῷ χρήσασθαι ταύτῃ τῇ τῶν τραγικῶν λέξει, εἰ μὴ φανερῶς παρατραγῳδοῦντι, ὥςπερ ἐν τοῖς Λυσιστράτης στίχοις, οὓς ᾄδει ὁ τῶν γερόντων χορὸς [στ. 478—483] οὐ γὰρ ἔτ' ἀνεκτὰ ταῦτ', ἀλλὰ βασανιστέον

τόδε σοι τὸ πάθος
μετ' ἐμοῦ' σθ' ὅ τι βουλόμεναί ποτε τὴν
Κραναὰν κατέλαβον,
ἐφ' ὅ τι τε μεγαλόπετρον, ἄβατον ἀκρόπολιν
ἱερὸν τέμενος.

ἢ καὶ μετὰ σεμνολογίας νουθετοῦντι, ὥςπερ ὁ ἐν τοῖς Ὄρνισιν Ἔποψ, ὅπου ἐρωτᾷ τὸν Εὐελπίδην
[στ. 123.] ἔπειτα μείζω τῶν Κραναῶν ζητεῖς πόλιν;
ἐν δὲ τούτοις τοῖς Ἀχαρνέων στίχοις [75] ψέγει μὲν τοὺς Ἀθηναίους, ὡς τὴν πόλιν κακοήθεσι καὶ φιλοκερδέσιν ἀνδράσιν ἐπιτρέποντας, ἀλλ' οὐ σεμνολογεῖ οὐδαμοῦ ἐν τούτῳ γε τῷ χωρίῳ. διασύρει οὖν τὴν τραγικὴν λέξιν. φανερὸν δὲ πρὸς τούτοις ὅτι, ἐπεὶ λέγει ‚ἆρ' αἰσθάνει τὸν κατάγελων τῶν πρέσβεων' [στ. 76.], οὐ μόνον εἰς ὅλην τὴν τῶν πρέσβεων τρυφὴν ἀποβλέπει [στ. 65—75], ἀλλὰ καὶ εἰς μίαν ἐκείνην λέξιν, ἀφ' ἧς ὁ στίχος ἄρχεται [ἄκρατον], ὥςπερ εἰ αὐτοὶ οἱ πρέσβεις ταύτῃ τῇ λέξει χρώμενοι εἰς τὸ ἀρχαῖον τῶν Ἀθηνῶν ὄνομα ἔπαιξαν.

Ἐν δὲ τῇ αὐτῇ κωμῳδίᾳ τοῦ Μαρψίου μνήμην ποιεῖται ὁ κωμικὸς [στ. 702] παρὰ τὸ διώκοντα μάρπτειν τοὺς διωκομένους,***) τοῦ δὲ Κτησίου [στ. 839.] παρὰ τὸ συκο-

---

*) [*Ἀχαρν. στ.* 183.]

**) *Καὶ γὰρ τὸ κρήνη [ἢ κράνα] οἱ παλαιοὶ παρὰ τὸ κεραννύναι παρῆγον.*

***) *Ἰδὲ τὸν Αἰσχύλου στίχον, εἴ σε μάρψει ψῆφος'.* [*Εὐμεν.* 567.]

φαντοῦντα κτᾶσθαι. καὶ περὶ μὲν τοῦ Μαρψίου ὀλίγα ἴσμεν, περὶ δὲ τοῦ Κτησίου οὐδὲ οἱ παλαιοὶ ὑπομνηματισταὶ οὐδὲν συνέῤῥαψαν ψευδολογοῦντες, ὥςτε μήποτε φανερὸν γενήσεσθαι, εἴ τις ἦν τῶν τότε συκοφαντούντων Κτησίας τὸ ὄνομα ἢ μή. εἰ μὲν οὖν μηδεὶς ἦν τοῦτο τὸ ὄνομα, πέπλασται δὲ αὐτὸ παρὰ τὸ κτήσασθαι, αὐτή ἐστι καθ' ἑαυτὴν αὕτη ἡ ἀπὸ τῆς λέξεως παιδιά, εἰ δὲ τοὐναντίον ἦν τις ὁ Κτησίας τῶν συκοφαντῶν, καὶ οὗτος τῶν μάλιστα μισητῶν, μεμιγμέναι εἰσὶ παιδιαὶ δύο, ἡ μὲν ἀπὸ τῆς λέξεως, ἡ δὲ ἀπὸ τῶν πραγμάτων [τοῦτ' ἐστὶ τῶν ἔξω τῆς λέξεως κειμένων].

Πρὸς δὲ δὴ καὶ τὸ τῶν Ἀργείων ὄνομα παίζει ὁ ποιητής, ὡς ἀργῶν [ἢ ἀεργῶν] ὄντων πρὸς τὸ συμπολεμεῖν μετὰ τῶν Ἀθηναίων. λέγει γὰρ ἐν τῇ Εἰρήνῃ ὅτι

[στ. 475.] οὐδ' οἵδε γ' εἷλκον οὐδὲν ἀργεῖοι πάλαι.

Τέλος δὲ τὸν ἐν Νεφέλαις στίχον διασκοπῶμεν·

[στ. 398.] καὶ πῶς, ὦ μῶρε σὺ καὶ Κρονίων ὄζων καὶ βεκκεσέληνε. ὅπου γὰρ ἂν χρῆται ὁ ποιητὴς τούτῳ τῷ ῥήματι ἢ φανερῶς αἰσχρόν τι σημαίνει, ἢ μόνον οὐχὶ τὸν Ὀϊλέως Αἴαντα μιμεῖται, ὅνπερ διὰ πολλοῦ βοῶν ὄνθου θέοντα ὀλισθεῖν φησιν Ὅμηρος,*) ἀλλὰ μόγις ἐπὶ τὸ καθαρώτερον ἀναστρέφεται. ἅπαντας γὰρ ἀνάγνωθι στίχους, ἐν οἷς εὑρίσκεται τὸ ὄζειν, τοὺς Ἀχαρνέων στίχους· [190] ὄζουσι πίττης καὶ παρασκευῆς νεῶν, [192] ὄζουσι χαὖται πρέσβεων ἐς τὰς πόλεις, [196] ὄζουσ' ἀμβροσίας καὶ νέκταρος, [852] ὄζων κακὸν τῶν μασχαλῶν πατρὸς Τραγασαίου, ἐν ταῖς Νεφέλαις· [49—51] συγκατεκλινόμην — ὄζων τρυγὸς — καταγλωττισμάτων, ἐν Ἱππεῦσι· [892] βύρσης κάκιστον ὄζων, ἐν Σφηξίν· [38] ὄζει κάκιστον τοὐνύπνιον βύρσης σαπρᾶς, [1058—1059.] τῶν ἱματίων

*) *Ἐν τοῖς ἐπὶ Πατρόκλῳ ἄθλοις, ἐν τῇ ψ' ῥαψῳδίᾳ.* [23, 774—777.]

ὀζήσει δεξιότητος, ἐν Εἰρήνῃ· [529.] τοῦ μὲν γὰρ ὄζει κρομμυοξυρεγμίας, ἐν Θεσμοφοριαζούσαις· [254] νὴ τὴν Ἀφροδίτην ἡδύ γ' ὄζει ποσθίου, ἐν Λυσιστράτῃ. [615—619] ἀλλ' ἐπαποδυώμεθα — ὄζειν ταδὶ πλειόνων καὶ μειζόνων — ὀσφραίνομαι τῆς Ἱππίου*) τυραννίδος, [661—663.] ὅςτις γ' ἐνόρχης ἔστ' ἀνήρ — ἐκδυώμεθα — τὸν ἄνδρα δεῖ ἀνδρὸς ὄζειν, ἐν Ἐκκλησιαζούσαις· [524—525] ΠΡΑ. ὄζω μύρου. ΒΛΕ. τί δ'; οὐχὶ βινεῖται γυνὴ κἄνευ μύρου; [647—648.] ΠΡΑ. εἴ σε φιλήσειεν Ἀρίστυλλος**) φάσκων αὐτοῦ πατέρ' εἶναι, ΒΛΕ. οἰμώζοι τἂν καὶ κωκύοι. ΠΡΑ. σὺ δέ γ' ὄζοις ἂν καλαμίνθης, [682—695.] ὃν — ἐκδυώμεθα — ὄζωμεν γυναικῶν — σκόροδα — ἀετὸν τίκτοντα κάνθαρός σε μαιεύσομαι, ἐν Πλούτῳ· [1020.] ὄζειν τε τῆς χρόας ἔφασκεν ἡδύ μου, ἐν Νεφέλαις [1007] σμίλακος ὄζων καὶ ἀπραγμοσύνης, καὶ μόνον***) ἐν τούτῳ τῷ Νεφελῶν στίχῳ [1007] δόξει σοι ὁ ποιητὴς σεμνολογῆσαι, ἐν δὲ τοῖς ἄλλοις τὸ ὄζειν ἀγοραίαις τισὶ καὶ φαύλαις λέξεσι προςέμιξεν. ἐνθυμηθεὶς οὖν ὅτι πολλάκις χρῆται τοῖς κρομμύων†) καὶ σκορόδων ὀνόμασιν, ὅταν περὶ ἀηδοῦς τινος πράγματος ἢ ἀνθρώπου λόγον ποιῆται, καὶ ἐν τούτῳ τῷ Νεφελῶν στίχῳ [398]

---

*) *Ἰδὲ τοὺς ἐν Σφηξὶ* [502.] *καὶ ἐν Ἱππεῦσι* [449.] *στίχους.*

**) *Σχολ. Ῥαβενναῖος Ἀρίστυλλος, αἰσχροποιὸς οὗτος.*

***) *Περὶ γὰρ τοῦ ἐν Ἱππεῦσι στίχου· οὐ χοιρινῶν ὄζων, ἀλλὰ σπονδῶν* [1332.] *ἀμφιδοξῶ. ἀμφιβόλου γὰρ ὄντος τοῦ σπονδῶν ὀνόματος* [*Ἀχ.* 178, 183, d. v. l. 12] *κινδυνεύει καὶ τὸ χοιρινῶν μετέχειν τῆς ἀμφιβολίας, ὥςπερ εἰ ἔλεγεν τὰς μὲν δίκας κακῶς ὄζειν, ὥςπερ τὸν χοῖρον* [*τὴν βληχώ, Ἀχ.* 767—773, *Ἐκκλ.* 724, *Λυσ.* 89.] *τὰς δὲ σπονδὰς ἡδύ, ὥςπερ τὸν οἶνον.* [*Ἀχ.* 196.]

†) *Ἰδὲ τοὺς ἐν Ἀχαρν. στίχους· κρομμύοις γὰρ ἄχθομαι* [1100], *ἐν Εἰρ.* [1093—1095] *ἥδομαι — ἀπηλλαγμένος — κρομμύων, ἐν Λυσ.* [798] *κρόμμυόν τἄρ' οὐκ ἔδει, ἐν Πλ.* [167] *ὁ δέ γε πωλεῖ κρόμμυα, ἐν Βατρ.* [654] *ΑΙ. τί δῆτα κλάεις; ΔΙΟ. κρομμύων ὀσφραίνομαι, ἐν Εἰρ.* [529] *κρομμυοξυρεγμίας.*

ἐννοήσας ὅτι τὸ Κρονίων ὄζων εἴρηται ἐπὶ χλευασμῷ φόμην αὐτὸν γέλωτος χάριν ἅμα ἀποβλέψαι εἰς τὴν ἀπὸ τῶν κρομμύων δυσοσμίαν· παρήχηται γὰρ τὸ Κρονίων τῷ κρομμύων.

Καίτοι δεῖ με παντάπασιν ἤδη, κἂν μηδεὶς περὶ τούτου τοῦ στίχου βούληταί μοι ἐναντιοῦσθαι, περὶ ἁπασῶν τούτων τῶν ἀπὸ τῆς λέξεως παιδιῶν ἀποφήνασθαι τὴν γνώμην, ἐν αἷς ἔνεστί τι τῶν ἀγοραίων καὶ φορτικῶν καὶ μάλιστα τῶν αἰσχρῶν καὶ ἀφροδισίων. ῥεπόντων γὰρ τῶν Ἀθηναίων πρὸς τρυφεράν τινα ἀλαζονείαν, πατρῷόν πως καὶ ἐπιχώριον ἦν αὐτοῖς τό τε σκώπτειν αἰσχρῶς καὶ τὸ τῶν σκωπτόντων εἰς τοὺς ἄλλους καὶ πολλαχῇ αἰσχρολογούντων εὐθὺς συνιέναι, ὥςτε τοὺς γελῶντας ὀλίγου δεῖν φθάνειν δοκεῖν τοὺς εἰς αἰσχρά τινα αἰνιττομένους. ὥςπερ γὰρ οἱ ὑπεσκελισμένοι, κἂν περ μικρὸν πταῖσμα συμβῇ, πρανεῖς καταπίπτουσιν, οὕτω καὶ οἱ ἐπὶ τοῖς αἰσχροῖς γελασείοντες, κἂν ὀλίγον τις παραστρέψῃ τὰ ὀνόματα εἰς τὰ τοιαῦτα, ἢ κἂν μὴ κινῆται, μηδὲ παρακινδυνεύηται μηδέν, ἀλλὰ τὴν ἀρχήν πως ἐγκεῖσθαι δοκῇ σπινθήρ τις τῆς ἀνοσίου φλογός, ὑπὸ γέλωτος οἴονται διαῤῥαγήσεσθαι. καὶ γὰρ οἱ κορυβαντιῶντες, ὡς Πλάτων φησίν, τῶν αὐλῶν δοκοῦσιν ἀκούειν. οὕτω οὖν διακειμένων τῶν θεατῶν, ὡς ἐγὼ ὑπολαμβάνω, οὐ μὲν οὖν τοῦτό γε δεῖ διασκέψασθαι, πόσαι καὶ ποῖαι τῶν αἰσχρῶν ἀπὸ τῆς λέξεως παιδιῶν τοῖς σώφροσι καὶ ψυχροῖς καθ' ἡμᾶς μεριμνοσοφισταῖς καλῶς ἂν δόξαιεν ἔχειν, οἱ τὴν ἑλληνίδα γλῶσσαν λύχνου παρατεθέντος καὶ μεθ' ἱδρῶτος προκεκυφότες καταμανθάνουσιν, ἀλλ' ἅςτινας ὁ Πυκνίτης λεὼς
ἐν ταῖς λιπαραῖς καὶ ἰοστεφάνοις καὶ ἀριζηλώτοις Ἀθήναις κατὰ τὰς Διονύσου ἑορτὰς ἐν τῷ θεάτρῳ ἐγκαθεζόμενος εὐθέως ὑφήρπασεν. οὔκουν ἔξεστιν οὐδαμῶς ταῖς τῶν ὀνομάτων ἐτυμολογίαις πᾶσαν τὴν ὅλου τοῦ στίχου διάνοιαν ἀτεχνῶς τεκμαίρεσθαι, ἀλλὰ δεξιοῦ δεῖ ἀνδρός, ὅς γ' ἄν,

μὴ ἐξαπατηθεὶς τῷ σχήματι, ἐκ τῆς ἠχῆς τὸν τῆς λέξεως νοῦν συλλογίσηται.

Ὅτι δὲ ὅσῳ ἀσελγεστέρως εἶχον πρὸς τὰς αἰσχρὰς παιδιάς, τοσούτῳ ὀξύτεροι ἦσαν γνῶναι αὐτάς, οὐδεμιᾶς δεῖ ἐξηγήσεως. ὅσῳ δὲ μᾶλλον αὐταῖς τὸν νοῦν προσεῖχον, τοσούτῳ ῥᾷον εἰκὸς καὶ τὰς ψυχροτέρας τῶν αἰσχρῶν παιδιῶν ὑπ' αὐτῶν κατανοηθῆναι. πῶς γὰρ οὔ; ἀλλ' ᾔσθου, ὦ γεννάδα, τοῦ δὴ ἕνεκεν οὕτως ἐμήκυνα τουτονὶ τὸν λόγον; νὴ Δία, δι' οὐδὲν ἄλλο ἢ ὅτι ἄχθομαι ὁμολογῶν αὐτὰς τὰς αἰσχρὰς ἀπὸ τῆς λέξεως παιδιάς, καθ' ὅσον εἰσὶν ἀπὸ τῆς λέξεως κενωτέρας πως φαίνεσθαι καὶ ψυχροτέρας τῶν ἄλλων, τὸν δὲ γέλωτα — εἴπερ δή τις βούλεται γελᾶν ἐπὶ τούτοις — οὐ μὲν ἀπὸ τῆς λέξεως γίγνεσθαι, ἀλλὰ μᾶλλον ἀπὸ τοῦ αἰσχροῦ καὶ μετ' ἀσχημοσύνης φορτικοῦ. τοῦτο δὲ ἕν ἐστι τῶν ἔξω τῆς λέξεως κειμένων, κεἰ χωρὶς τῆς ἀπὸ τῆς λέξεως παιδιᾶς τοιαῦτά τις πράττοι ἢ λέγοι, τοῖς γε τοιούτοις θεαταῖς πολὺν ἂν γέλωτα παρέχοι. αἱ μὲν οὖν αἰσχραὶ ἀπὸ τῆς λέξεως παιδιαὶ ἥκιστα αὐταὶ καθ' ἑαυτὰς καθεστᾶσιν, ἀλλ' οἷον δὴ ἐλευθέρων γ' ἀνδρῶν οὖσαι ἀνάξιοι, αὐταὶ δεδούλωνται ὑπὸ τοῦ ἀπὸ τῶν πραγμάτων γελοίου καὶ τὴν ἰδίαν τιμὴν ἀπεστέρηνται.

Ἀλλ' ἴθι ἄκουε δή, ὦ φίλτατε· ἐκ πολλοῦ γὰρ ἀναβαλομένη ἡ Μοῦσα νῦν μελῳδεῖν παρασκευάζεται.

Καὶ πρῶτον μὲν οὖν τινας ἐν τοῖς Βατράχοις στίχους [542—548] διασκεψώμεθα. λέγει ὁ Διόνυσος πρὸς τοὺς χορευτὰς δεινὸν ποιούμενος καὶ εἰς ἑαυτὸν μάλιστα σκώπτων, ὅτι αὐτὸς τοῦ Ξανθίου σκευοφόρος γενόμενος τὸν δοῦλον ἀνθ' ἑαυτοῦ τῇ λεοντῇ ἐνεσκεύασεν. μεταγνοὺς οὖν ὁ Διόνυσος — ὀρχηστρίδες γὰρ ἔμελλον παρέσεσθαι — εἶπε τάδε·

οὐ γὰρ ἂν γέλοιον ἦν, εἰ
Ξανθίας μὲν δοῦλος ὢν ἐν
στρώμασιν Μιλησίοις

ἤτησεν — ἐγὼ δὲ πρὸς τοῦτον βλέπων [545]· οὗτος δ' ἅτ' ὢν καὐτὸς πανοῦργος
[546.] εἶδε, κᾆτ' ἐκ τῆς γνάθου
[547.] πύξ πατάξας μοὐξέκοψε
[548.] τοὺς χοροὺς τοὺς προσθίους.

Ὁ μὲν οὖν παλαιὸς ὑπομνηματιστὴς περὶ τούτων τῶν προσθίων χορῶν τάδε λέγει· ‚Ἀντὶ τοῦ εἰπεῖν ὀδόντας, εἶπεν χορούς. Διόνυσος γάρ ἐστιν ὁ τῶν χορῶν προστάτης. τὸ δὲ ὅλον παρὰ τὴν ὑπόνοιαν.' καὶ Σπανημίου μέν, Κουστήρου, Βεργλήρου, Βρουγκίου, Σηγήρου, Δροισήνου, Μυλλήρου τοῦ Ἱερωνύμου ἐπικαλουμένου μηδεμίαν γνώμην περὶ τούτου τοῦ στίχου ἀποφηναμένων, ὁ Βέκκιος, ὁ Βώθιος καὶ Φρίζιος, ὁ τῶν ἐν Ῥοδοπόλει Ἀριστοφανικῶν προστάτης, περὶ τοῦδε μόνον ἐναργές τι ἐβεβαίωσαν, ὡς ἐξῆν τῷ ποιητῇ τῷ χοροῦ ὀνόματι ἐπὶ τοῖς ὀδοῦσι χρήσασθαι ἀμέμπτως. καὶ τοσαῦτα μὲν οὗτοι. ἀλλ' οὐκ ἔπεισαν τὸν Κόκκιον τοῖς μαρτυρίοις. κατὰ τοῦτον γὰρ χρῆν εἰπεῖν τὸν ποιητὴν χορὸν ἀντὶ χοροὺς τῷ ἑνικῷ χρώμενον ἀντὶ τοῦ πληθυντικοῦ. καὶ ἄριστά μοι τοῦτο δοκεῖ εἰρῆσθαι, κατά γε τὰ τῶν παλαιῶν βιβλίων χωρία, ἃ διῆλθον ἐκεῖνοι. χρῆν μὲν οὖν παντάπασι χορὸν [ὀδόντων] εἰπεῖν τὸν Ἀριστοφάνη ἀντὶ χοροὺς — εἰ μὴ ἐξεπιτηδὲς τῷ τῆς λέξεως ταύτης πληθυντικῷ ἐχρήσατο. διὰ τί οὖν τοῦτο; ἴθι δή· αὖθις λέγε τὸ παλαιὸν ὑπόμνημα. ‚ὅτι Διόνυσός ἐστιν ὁ τῶν χορῶν προστάτης· τὸ γὰρ ὅλον παρὰ τὴν ὑπόνοιαν.' νὴ αὐτὸν τοῦτον τὸν Διόνυσον, καλὴν τὴν ἀπὸ τῆς λέξεως παιδιὰν παρὰ τῶν παλαιῶν παρελάβομεν, ἥν γε πάντες ἐφεξῆς οἱ μετὰ τούτους φιλόλογοι ἀπεστύγησαν, ὥςτε μόνον τὸν Θίρσχιον περὶ αὐτῆς ἀμφιςβητῆσαι. ἀλλ' οὐκ ἔδει ἀμφιςβητεῖν αὐτὸν περὶ ταύτης τῆς ἀπὸ τῆς λέξεως παιδιᾶς, οἵανπερ οἱ παλαιοὶ ἀνεῦρον, ἀλλ' ἢ καταγελᾶν τῶν παλαιῶν ἢ σαφέστερον αὐτῶν περὶ τούτου τοῦ στίχου ἐξηγεῖσθαι. μορίου γάρ τινος τῆς παιδιᾶς ἐφαψάμενοι τὸ πᾶν οὐκ ἐπενόησαν. δῆλον γὰρ ὅτι

ὁ ποιητὴς λέγων ,τοὺς χοροὺς τοὺς προσθίους' πρός τινα τῶν πρὸ τούτου στίχων παίζει [545] ,τοὐρεβίνθου δρατ- τόμην', τὸν συνεχῆ ἀποσπερματισμὸν τῷ σεμνῷ ὀρχήσεως ἢ χορείας ὀνόματι ἀπεικάζων. πολλῶν γὰρ τῶν τοιούτων αἰσχρῶν μετῆν τοῖς τῶν ἀνδραπόδων κορδακισμοῖς. λέγει μὲν οὖν ὁ Διόνυσος, ὅτι εἰ ἔτι ἐσκευοφόρει ἀντὶ τοῦ Ξανθίου, οὐκ ἂν μόνον ἔδει αὐτὸν πρωκτοτηρεῖν ἐκεῖνον βινοῦντα καὶ στέργειν ἐκμιαινόμενον, ἀλλὰ καὶ πληγὰς ἂν λαβεῖν ἑαυτὸν διὰ τοῦτο, ὥςτε μικρᾶς περ οὔσης τῆς τέρψεως καὶ ταύτης ἂν ἐπιλαθέσθαι. εἰ μὲν οὖν ὁ ποιητὴς τῇ κοινῇ λέξει ἠβουλήθη χρῆσθαι, εἶπεν ἂν ὧδε· ,γελοῖον ἂν ἦν.... εἰ... ἐκ τῆς γνάθου ἐξέκοψέ μοι τὸν χορὸν τὸν πρόσθιον.' ἐπεὶ δὲ ἐπιτηδὲς χρῆται τῷ πληθυντικῷ, χοροὺς λέγων τοὺς προσθίους, αἰνίττεται εἰς ἐκείνην τὴν ἀπόπτυστον τοῦ σκευοφόρου τέρψιν· παταχθεὶς γὰρ τὴν γνάθον ἐπιλήσεται τῆς τῶν ἀφροδισίων ἐπιθυμίας. ὅτι δὲ ἄριστα κεῖται τὸ προσθίους καὶ γελοιότερόν πως γίγνεται τὸ πρᾶγμα, διότι Διόνυσος προστάτης ἦν τῶν τραγικῶν καὶ κωμικῶν χορῶν καὶ ὅτι αὐτὸς ὁ θεὸς τούτῳ τῷ χορῶν ὀνόματι χρῆται πρὸς τὸ κακέμφατον, πάντων δήπου ἐστὶ φανερώτατον. οὔκουν ἔδει τοὺς Ἀριστοφανικοὺς οὔτε τῷ παλαιῷ ὑπομνηματιστῇ οὕτω σφόδρα ἐπιπλήττειν, οὔτε κινεῖν τῶν ἐν τούτῳ τῷ στίχῳ ὀνομάτων οὐδέν· ἔγραψαν γὰρ ὁ μὲν Ὀττίβιος ,τοὺς κόρους' ἀντὶ ,τοὺς χορούς', ὁ δὲ Κόκκιος ,τοῦ χοροῦ'. οὐ γὰρ οὐδ' ἂν ,τοὺς χοροὺς τοῦ ποσθίου' βουλοίμην ἀντικαταστῆσαι, καίπερ τοῦτο αἰνίττεται ὁ ποιητής· ἤμελλεν γὰρ ἐρεῖν ταῦτα, εἶπε δὲ οὔ· ὅτι δὲ τοῦτο ἀληθὲς λέγω, τὸ ,ἐκ τῆς γνάθου' μέγιστον ἂν εἴη τεκμήριον. οἷόνπερ οὖν παρειλήφαμεν τὸν στίχον παρὰ τῶν προγόνων, τοιοῦτος κείσθω τοῖς ὕστερον ἐσομένοις.

Ἐν πολλῷ πλείονι ἀπορίᾳ ἐνείχοντο οἱ Ἀριστοφανικοὶ περὶ Αἰσχύλου λόγον τόνδε· [Βατρ. στ. 1298—1301 κτλ.]

ἀλλ' οὖν ἐγὼ μὲν ἐς τὸ καλὸν ἐκ τοῦ καλοῦ

[1299] ἤνεγκον αὔθ', ἵνα μὴ τὸν αὐτὸν Φρυνίχῳ
[1300] λειμῶνα Μουσῶν ἱερὸν ὀφθείην δρέπων.
[1301] οὗτος δ' ἀπὸ πάντων μὲν φέρει πορνιδίων κτλ.

ἀμέτρου μὲν γὰρ ὄντος τοῦ πορνιδίων, περισσεύει τὸ μέν. ἀντικατέστησαν οὖν ὁ μὲν Κόκκιος ‚συμφέρει παροινίων', ὁ δὲ Μεινήκιος ‚μεταφέρει πορνῳδιῶν'· τὰς δὲ τῶν ἄλλων Ἀριστοφανικῶν ἐξηγήσεις, ἅτε πολυθρυλήτων ὄντων τῶν στίχων τῶνδε, ἑκὼν παραλείψω. κάμοιμι γὰρ ἂν τὰς τῶν ἄλλων γνώμας ἐξελέγχων, πρὶν τὴν ἐμὴν ἔχειν βραχεῖ λόγῳ διεξελθεῖν. προθύμως οὖν σύλλαβε ταδί·

Στοχαστικοῦ μὲν ὄντος τοῦ ἵνα, ἀποφατικοῦ δὲ τοῦ μή, δῆλον ὅτι οὐκ ἂν ἤνεγκε τὰ μέλη ἐς τὸ καλὸν ἐκ τοῦ καλοῦ, εἰ τὸν αὐτὸν Φρυνίχῳ Μουσῶν λειμῶνα ἔδρεψεν. ἤνεγκε δὲ αὐτά, ὡς αὐτός φησιν, ἐς τὸ καλὸν ἐκ τοῦ καλοῦ· οὐκουν τὸν αὐτὸν Φρυνίχῳ Μουσῶν λειμῶνα ἔδρεπεν. Εὐριπίδης δὲ οὐ μόνον οὐκ ἐκ τοῦ καλοῦ αὐτὰ μετήνεγκεν — οὐδὲ δεινὸν ἂν ἐποιήσατο, εἰ τὸν αὐτὸν Φρυνίχῳ ἑνὶ ὄντι Μουσῶν λειμῶνα δρέπων ὤφθη — ἀλλ' οὐδ' ἄν, εἰ πολλῷ πλείοσιν ἢ καὶ ἅπασιν ὁμοῦ τὸν αὐτὸν ὁντιναοῦν λειμῶνα δρέπων ἐπ' αὐτοφώρῳ ἑάλω, οὐδὲ τότ' ἂν ἀπέγρυξεν.

Ἆρ' ἐννοεῖς, ὦ βέλτιστε, ὅ τι λέγει ὁ ποιητής; οὐ γὰρ δήπου λέληθέ σε, ὅτι λειμὼν*) καλεῖται ἐνίοτε, ᾧπερ ἄλλοθί που κῆπος ἢ πεδίον ὄνομα κεῖται. ἀμφιβόλοις οὖν λέξεσιν ὁ κωμικὸς ἐπὶ τῇ μελοποιΐᾳ ἐχρήσατο, οὐδὲν ἧττον ἢ ἐν ἄλλοις τισὶ τῆς αὐτῆς κωμῳδίας στίχοις ἐφ' ὅλῃ τῇ τραγικῇ τέχνῃ·

[Βατραχ. στ. 94—96] ἃ φροῦδα θᾶττον ἢν μόνον χορὸν λάβῃ,
ἅπαξ προσουρήσαντα τῇ τραγῳδίᾳ.
γόνιμον δὲ ποιητὴν ἂν οὐχ εὕροις ἔτι.

Καὶ πρὸς τὴν κωμῳδίαν παίζει κατὰ τὸν αὐτὸν τρόπον ἐν τοῖς Ἱππεῦσι λέγων·

---

*) *Ἐν Κύκλωπι* [173].

[Ἱππ. στ. 517.] πολλῶν γὰρ δὴ πειρασάντων αὐτὴν ὀλίγοις χαρίσασθαι.

Ἀλλ' οὔπω εἴρηται τὸ πᾶν. εὖ γὰρ οἶδα, ὅτι οὐκ ἀποδέξονται ταύτην τὴν γνώμην, οἵτινες ἂν μὴ ἀξιῶσι τὸν Αἰσχύλον φαυλοτέραις τισὶ λέξεσι χρώμενον ὑπὸ τοῦ κωμικοῦ εἰςαχθῆναι. ὅπου γὰρ ἂν λέγῃ ὁτιοῦν ὁ Αἰσχύλος ἐν τοῖς γε Βατράχοις, πάσῃ τέχνῃ καὶ διὰ παντὸς αὐτὸν τραγῳδεῖν πως καὶ σπουδαιολογεῖν φασι πάντες ἐφεξῆς οἱ τῶν Βατραχομαστίγων κορυφαῖοι. καὶ γὰρ δι' αὐτὸ τοῦτο ὁ Μεινήκιος ὅλους τινὰς στίχους οὐ μὲν τοῦ Αἰσχύλου ἔκρινεν εἶναι, ἀλλὰ τοῦ Διονύσου [Βατρ. 1175—1176] καὶ συνέδοξε τῷ Κοκκίῳ δι' οὐδὲν ἀλλ' ἢ ἐπεὶ ὁ τραγικὸς γελοίως πως ὑπὲρ τῶν προτέρων ἑαυτοῦ στίχων ἀπολογεῖται. [Βατρ. 1172—1173.] ἀλλὰ μὴν παρακρουόμενοι, νὴ Δία, τοὺς ἄλλους αὐτοὶ ἐσφάλησαν, ὅπερ ἔστι τεκμαίρεσθαι ἐξ ἄλλων τινῶν τοῦ τραγικοῦ στίχων καὶ τούτων φανερῶς μὲν ὄντων τοῦ Αἰσχύλου, πολὺν δὲ γέλωτα τοῖς γε δεξιοῖς ἀκροαταῖς δι' αὐτὴν τὴν σεμνολογίας μίμησιν παρεχόντων. οὐδέ γε μέντοι ἐκείνους τοὺς στίχους λέγω, ὧν ὁ πολὺς ὁ τῶν τριχοινίκων ἐπῶν ὄγκος κωμῳδεῖται, ἀλλ' ἀφανεῖς τινας μέχρι νῦν καὶ ὑπ' ἄλλων παραλειφθέντας. λέγω δὲ στίχους τούςδε·

[1188—1195.] μὰ τὸν Δί' οὐ δῆτ', οὐ μὲν οὖν ἐπαύσατο.
πῶς γάρ; ὅτε δὴ πρῶτον μὲν αὐτὸν γενόμενον
χειμῶνος ὄντος ἐξέθεσαν ἐν ὀστράκῳ

καὶ τοὺς λοιπούς, μάλιστα δὲ τόνδε·

[1193] ἔπειτα γραῦν ἔγημεν αὐτὸς ὢν νέος.

ἐπεὶ γὰρ Αἰσχύλος διασύρειν βουλόμενος τὸν Εὐριπίδην μᾶλλον ἔτι ἢ κατὰ τὸ εἰκὸς ηὔξησε τὴν Οἰδίποδος δυςτυχίαν κωμικώτατα λέγων, ὅτι χειμῶνος ὄντος ἐν ὀστράκῳ ἐξετέθη — οὐ γὰρ οὕτω κεῖται ὁ μῦθος παρ' οὐδενὶ τῶν ποιητῶν, ἀλλὰ πέπλασται τοῦτο ὑπ' Αἰσχύλου πρὸς τὸ τῶν Εὐριπίδου προςώπων ἐλεεινόν — ἐπὶ γέλωτι προςτίθησι, ὅτι ἤρρησεν

οἰδῶν τὼ πόδε καὶ διατελεῖ παίζων, ὡς γραῦν ἔγημεν αὐτὸς ὢν νέος, ὥςπερ ἔσχατον πάθος τοῦτο παθόντος τοῦ Οἰδίποδος. καὶ γὰρ ὥςπερ ἐν προςθήκης μέρει λέγει τὰ λοιπὰ ‚καὶ πρός γε τούτοις τὴν ἑαυτοῦ μητέρα', ὥςτε μόνον οὐκ ἀσεβεῖν δοκεῖν περὶ τῶν ὁσιωτάτων. οὔκουν πανταχοῦ σεμνολογεῖ ὁ τραγικὸς ἐν τοῖς Βατράχοις, ἀλλ' ἔστιν ὅτε φαυλότερον παίζων εἰςάγεται ὑπὸ τοῦ κωμικοῦ. καίτοι οὐ παντάπασιν ἐμφερές ἐστι τοῦτο τὸ χωρίον ἐκείνοις στίχοις, ὧν πέρι αὕτη ἡ ἐξέτασις ποιεῖται. ἐνταῦθα γὰρ [στ. 1188—1195] Αἰσχύλος ἑκὼν γελωτοποιεῖ, ἐκεῖ δὲ [1300] σεμνολογεῖν βουλόμενος εἰςάγεται, ἔπειτα δὲ ἄκων πως γέλωτα ὦφλεν. ἱπποβάμονα γάρ τινα λόγον περὶ λειμώνων καὶ μελισσῶν καὶ μέλιτος καὶ μελῶν μελισιδωνοφρυνιχηράτων εἰςηγούμενος, ὥςπερ ἀπὸ νοῦ κατέπεσε καὶ ἡ ἀπὸ τῶν λειμώνων τροπὴ εἰς ἄλλο τι λειμώνων εἶδος εὐθὺς μετηνέχθη. πανοῦργος μὲν γὰρ ὁ κωμικός, φιλογέλωτες δὲ οἱ θεαταί.

Καὶ τοσαῦτα μὲν εἶχον εἰπεῖν περὶ τούτων τῶν στίχων [1297—1300]. ἐπιτηδὲς δὲ σιγῇ παρέλειπον τὸν τούτων ἐχόμενον [στ. 1301] ὅτι, εἰ μὲν ὀρθῶς κέοιτο τὸ πορνιδίων, πᾶς ἂν ὁ τυχὼν γνοίη, ὡς ἐναργῶς ὁ στίχος οὗτός μοι ἐπικουροίη, εἰ δὲ μή, πλείονος ἂν ἢ κατὰ τὸ μέχρι νῦν δεήσειε λόγου, ὅπως τις χρήσαιτ' αὐτῷ. τί οὖν χρησόμεθ' αὐτῷ, ὦ βέλτιστε; συνεσταλμένου γὰρ τοῦ ἰῶτα οὐκ ἔστιν τὸ ὄνομα τοῦτο ἀπὸ τοῦ πόρνη ἐτυμολογοῦντα ἀγαπᾶν τὴν τῶν βιβλίων γραφήν.

Διότι ἄκουε δή, ὦ γεννάδα, καὶ προθυμότερον ἔτι ἢ τὸ πρὶν πρόςεχε τὸν νοῦν τοῖς ὑπ' ἐμοῦ ἀνευρημένοις. ὧδε γάρ πως ἐλογισάμην· εἰ μὲν μὴ ἀπὸ τοῦ πόρνης ὀνόματος πέπλασται τὸ πορνιδίων, ἔχοι δέ τις ἄλλην τινὰ ἑλληνικὴν λέξιν ἐπιδείξασθαι ἐκ τῶν αὐτῶν μὲν γραμμάτων συνεστηκυῖαν, ἀλλ' ἐκτεταμένῃ τῇ δευτέρᾳ τῶν τεσσάρων συλλαβῶν διαφέρουσαν ἐκείνης, ἆρ' οὐ πλείστου ποιοίμεθ'

ἂν τὴν τούτου ἐπιστήμην; εἰ μὲν οὖν παρελθὼν εἰς ἡμᾶς ὡδί πως λέγοι, ὅτι ὦ ἄνδρες, ἀρχίδιον μὲν πλάττεται ἀπὸ τοῦ ἀρχή καὶ πορνίδιον ἀπὸ τοῦ πόρνη, ἀγγείδιον δὲ ἀπὸ τοῦ ἀγγεῖον καὶ πορνείδιον ἀπὸ τοῦ πορνεῖον, τί ἂν ἔχοιμεν περὶ τούτων ἀντιλογῆσαι;*) ἆρα μὴ ὅτι οὐ ταὐτὸ δύναται τὸ πορνείδιον καὶ τὸ πορνίδιον; πολλάκις γὰρ τά γε τοιαῦτα οἱ μὲν ἰωταγραφοῦσιν, παρ' ἄλλοις δὲ διὰ διφθόγγου ἡ λέξις κεῖται, ὥςτε τὰ ἀξιοπιστότατα βιβλία ἐν πάνυ πολλοῖς χωρίοις τούτῳ τῷ ει καὶ ι ἀλλήλων διαφέρειν.**)

Ἔγραψεν οὖν πορνειδίων ὁ ποιητής, καίπερ πορνιδίων σώζεται ἐν τοῖς βιβλίοις· τὸ δὲ ἄλλοθι οὐδαμοῦ εὑρίσκεσθαι τοῦτο τὸ ὑποκοριστικὸν ὄνομα ἀπὸ τοῦ πορνεῖον παρωνομασμένον θαῦμα οὐδέν. καὶ γὰρ οὐδὲν μᾶλλον τὸ πορνῳδιῶν ὄνομα κεῖται παρ' οὐδενὶ τῶν παλαιῶν, ὅπερ ὁ Μεινήκιος ἀντικατέστησεν, καὶ αὐτὸ τὸ πορνιδίων ὄνομα, ἐάνπερ συστείλας τὸ ἰῶτα ἐκ τοῦ πόρνη παράγῃς, ἅπαξ μόνον εὑρίσκεται παρὰ τοῖς γε παλαιοῖς καὶ τοῦτο παρ' Ἀριστοφάνει ἐν ταῖς Νεφέλαις [997]. ὅτι γὰρ Λουκιανὸς καὶ οἱ μετ' αὐτὸν ἐχρήσαντο ταύτῃ τῇ λέξει, οὐκ ἂν ἐν τεκμηρίου μέρει θείη εἰκότως, ὅςτις μετὰ σωφροσύνης βούλοιτο τὴν σκέψιν ποιεῖσθαι. φανερὸς γὰρ ἦν ζηλωτὴς καὶ μιμητὴς ὁ Λουκιανὸς τῶν Ἀριστοφανικῶν λέξεων καὶ οὐδὲν ἧττον αὐτὰς ἐκ τῶν τούτου κωμῳδιῶν κατέμαθεν ἢ σὺ καὶ ἐγώ, ὦ βέλτιστε, καὶ ἅπαντες, ὅσοιπερ περὶ τὰ τοῦ κωμικοῦ σπουδάζομεν. μονοῦται μὲν οὖν τὸ πορνιδίων ἐν ταῖς Νεφέλαις, μονοῦται δὲ τὸ πορνειδίων ἐν τοῖς Βατράχοις. Λείπεται δὲ δὴ περὶ τοῦ ὑποκοριστικοῦ εἰπεῖν,

---

*) *γραμμάτιον, γραμματίδιον — γραμματεῖον, γραμματείδιον [γραμματίδιον], γραφεῖον, γραφείδιον, [γραφίδιον, γραφή, γραφίδιον] [Ἐτυμολογ. M.* 241, 3—11, 147,$_{19}$, 230,$_{9}$, 240,$_{6}$, 560,$_{11}$].

**) *Ἐν Βατράχοις* [505] *κατερεικτῶν, κατερικτῶν* [*Ῥαβ.*], [970] *Κεῖος* [*Οὐενετ.*], *Κῖος* [*Ῥαβ.*], [1066] *περιειλλόμενος* [*Ῥαβ.*], *περιιλλόμενος* [*Οὐενετ.*].

διὰ τί Αἰσχύλος αὐτῷ ἐχρήσατο. τοῦτο δὲ ἁπάντων ῥᾷστ' ἄν τις συνίοι. ὡςαύτως γὰρ ὥςπερ ἐν ταῖς Νεφέλαις ὁ Δίκαιος Λόγος περὶ τῆς τῶν νέων παιδείας λόγον ποιούμενος τὸ φορτικώτερον πόρνης ὄνομα εὐλαβεῖται λέγων· [996—997]

μηδ' εἰς ὀρχηστρίδος εἰςάττειν, ἵνα μὴ πρὸς ταῦτα κεχηνώς, μήλῳ βληθεὶς ὑπὸ πορνιδίου τῆς εὐκλείας ἀποθραυσθῇς

καὶ ὁ Αἰσχύλος ἐν τοῖς Βατράχοις ἐφυλάξατο, μὴ ἀγροικοτέρως δόξειε λαιδορεῖν τὸν Εὐριπίδην, εἰ λέγοι, ὅτι ἀπὸ τῶν πορνείων τὰ μέλη συμφέροι. καὶ διὰ τοῦτ' οὖν, οἶμαι, τῷ πορνειδίων ὀνόματι ἐχρήσατο. Καὶ νυνὶ μὲν τελευτὴν ἂν ἔσχεν ἡ σκέψις αὕτη, εἰ μὴ καὶ περὶ τοῦ μὲν [1301] ὅ τε Μεινήκιος καὶ ὁ Κόκκιος καινότερόν τι ἐβουλεύσαντο. ἦν γὰρ ἡμῖν ὁ στίχος·

οὗτος δ' ἀπὸ πάντων μὲν φέρει πορνειδίων.

καὶ δι' ἣν μὲν αἰτίαν ᾤοντο ἀδιανόητον καὶ ἄτοπον παντάπασι τὸν σύνδεσμον τοῦτον, παρ' οὐδετέρου ἦν μανθάνειν. πάρεστι δὲ τεκμαίρεσθαι τὴν πρόφασιν ἐκ τοῦδε, ὅτι τὸ δὲ καὶ τὸ μὲν ἔνεστι ἐν ταὐτῷ στίχῳ, ὅπερ οὐκ ἂν πολλάκις συμβαίη γενέσθαι. ἀλλ' ὅμως οὐδὲν δεῖ κινεῖν οὐδὲ μεταλλάσσειν οὐδὲν τῶν ἐν τούτῳ τῷ στίχῳ ῥημάτων. οὐ γὰρ ἁπλοῦν, ἀλλὰ διπλάσιον τὸ ἀντίθετον ἐν τούτῳ τῷ χωρίῳ, ὧν τὸ μὲν ἕτερον προϋπάρχει, θάτερον δ' ἐπακολουθεῖ. λέγει γὰρ δήπου ὁ Αἰσχύλος τάδε· ,ἐγὼ μὲν τὰ μέλη ἐκ τοῦ καλοῦ εἰς τὸ καλὸν ἤνεγκον, ἀλλ' οὐκ ὤφθην τὸν αὐτὸν Φρυνίχῳ Μουσῶν λειμῶνα δρέπων· Εὐριπίδης δὲ τὰ μέλη ἀπὸ μὲν τῶν πορνειδίων φέρει, τάχα δὲ ὀφθήσεται ποιῶν τοῦτο. λέγει γὰρ ,τάχα δὲ δηλωθήσεται' [1303]. πλημμελῶς οὖν καὶ ἀτάκτως ὁ στίχος οὗτος [1303] διέστικται.

Καὶ περὶ μὲν τούτων ἐν Βατράχοις στίχων καθ' ἓν ἕκαστον διεξῆλθον, ὅτι πολλοὺς ᾔδειν τοὺς περὶ αὐτοὺς

διατριβὴν ποιησαμένους· ἄλλους δὲ πρὸς τούτοις πολλοὺς διηγεῖσθαι βουλομένῳ Λακωνική τίς μοι βραχυλογία ἐπιμελὴς ἔστω. οὐ γὰρ ἡδὺ περί τά γε τοιαῦτα καθ' ἕκαστα ἀκριβολογεῖσθαι.

Ἐν μὲν οὖν τινι Ἀχαρνέων στίχῳ [399] ὁ Κηφισοφῶν τρία εἶπε πρὸς τὸ κακέμφατον, τὸ ἀναβάδην,*) τὸ ποιεῖ, ὥςπερ δι' εὐφημισμοῦ ἀντὶ τοῦ τίκτει, καὶ τὸ τραγῳδίαν, ὥςπερ εἰ συνέκειτο τὸ ὄνομα ἐκ τοῦ τράγος καὶ τοῦ ὄζω. πρὸς ταύτας οὖν τὰς ἀμφιβόλους λέξεις παίζει ὁ Δικαιόπολις λέγων ὡς τρισμακάριος ὁ Εὐριπίδης,

ὅθ' ὁ δοῦλος οὑτωσὶ σοφῶς ὑποκρίνεται.

Πρὸς ταὐτὸ τοῦτο τὸ ὄζειν ὁ τῶν Σφηκῶν χορὸς αἰνίττεται ἐπεὶ ἐπίτηδες χρῆται λόγῳ τοιῷδε·

[1526] ἰδόντες ἄνω σκέλος ὤ ζ ω σ ι ν οἱ θεαταί.

Αἰσχύλου γὰρ λέξις αὕτη.**)

Ὡςαύτως δὲ καὶ τῷ ποιεῖν αὖθις ἐχρήσατο εἰς τὸ αἰσχρὸν ἔν τισιν ἐν Θεσμοφοριαζούσαις στίχοις [153—158]. μετὰ γὰρ τὸ τοῦ Μνησιλόχου ‚οὐκοῦν κελητίζεις' Ἀγάθων λέγει τὸ ‚ἀνδρεῖα δ' ἣν ποιῇ τις' κτλ. πρὸς τοῦτο γὰρ Μνησίλοχος ὑπολαβὼν τὸν λόγον παίζει, ἐπειδὴ λέγει ὅτι συμποιεῖν βούλεται αὐτῷ, ὅταν σατύρους ποιῇ κτλ.

Ὁ δὲ τῶν Νεφελῶν χορὸς γελοιότατα λέγει [1395], ὅτι τὸ δέρμα τῶν γεραιτέρων οὐδ' ἂν ἐρεβίνθου λάβοι· τὸ γὰρ ‚οὐδ' ἐρεβίνθου***) ταὐτὸ σημαίνει τῷ ‚μηδὲ πάτταλον'†) [Ἐκκλ. 284]· δύο γὰρ ἐννοίας ἔχει ἀμφότερον. ὅτι δὲ τὸ τοῦ δέρματος ὄνομα ἀμφίβολον, δηλοῦσί τινες ἐν τοῖς ἱππεῦσι στίχοι [27—29].

Καὶ ὁ Βδελυκλέων ὁ ἐν τοῖς Σφηξὶ γελοίως λέγει περὶ τοῦ πατρὸς ἐπιτάσσων τῷ οἰκέτῃ ταδί·

---

*) *Ἐν τῷ Ἡροδότου λόγῳ α΄.* [192]·

**) *Ἐν ταῖς Αἰσχύλου Εὐμενίσιν* [124]· *ὤζεις, ὑπνώσσεις.*

***) [*Ἀχαρν. στ.* 801], [*Βατρ.* 545.]

†) D. v. l. 51. [*Ἐκκλ. στ.* 1020.]

[στ. 398—399]
ἀνάβαιν' ἀνύσας κατὰ τὴν ἑτέραν καὶ ταῖσι φυλλάσι παῖε,
ἤν πως πρύμνην ἀνακρούσηται πληγεὶς ταῖς εἰρεσιώναις.
ἀλλ' οὐ μόνον τοῦτο γέλοιον, ὅτι περὶ τοῦ πατρὸς λέγει ὥςπερ περὶ νεὼς λόγον ποιούμενος, ἀλλὰ καὶ ἀμφίβολος ἡ λέξις αὕτη. τὸ γὰρ πρύμνης ὄνομα οὐ μόνον ἐπὶ νεὼς μέρει, ἀλλὰ καὶ ἐπ' ἄλλων τινῶν χρημάτων τῷ ὀπισθίῳ μορίῳ κεῖται κατὰ τὸν αὐτὸν τρόπον ὡςαύτως. ταὐτὸ οὖν σημαίνει ἐνταῦθα, ὅπερ ἔν τινι τῶν Νεφελῶν στίχῳ [1507]. Καὶ τὸν ἐν τῇ Λυσιστράτῃ στίχον·
[550] χωρεῖτ' ὀργῇ καὶ μὴ τέγγεσθ· ἔτι γὰρ νῦν οὔρια θεῖτε
ὃν μὲν οἱ ἄλλοι πάντες τάδε σημαίνειν λέγουσι·
,νῦν ἐπιτίθεσθε καὶ μὴ μαλθάσσεσθε· ἔτι γὰρ καιρὸς ὑμῖν, ὦ γυναῖκες' ἐπενόησα πάντων εἶναι ἀμφιλογώτατον. τὸ γὰρ τέγγειν ταὐτὸ τῷ βρέχειν, τὸ δὲ ,οὔρια θεῖτε' οὐχ ἧττον εἴρηται εἰς τὸ αἰσχρὸν ἢ τὸ ,Ζεὺς Οὔριος' *), ὥςπερ οὐρητιωσῶν τῶν γυναικῶν καὶ διὰ τοῦτ' οὖν τάχα ἂν τεγχθησομένων. ὅτι γάρ, ὅπου ἂν δύνηται, κάκιστα λέγει τὰς γυναῖκας ὁ ποιητής, οὐδεὶς τῶν Ἀριστοφανικῶν ὅςτις οὐκ ἐπίσταται.

Τέλος δὲ περὶ τῶν Ἱεροκλέους ἐν τῇ Εἰρήνῃ στίχων σκοπῶμεν, τί λέγει. εἰσὶν δὲ στίχοι οἵδε·
[1083] οὔποτε ποιήσεις τὸν καρκίνον ὀρθὰ βαδίζειν,
[1086] οὐδέποτ' ἂν θείης λεῖον τὸν τρηχὺν ἐχῖνον.
εἰ μὲν οὖν ἀληθὴς ὁ λόγος, ὡς χαριέστατα παίζειν φιλεῖ ὁ κωμικὸς πρὸς τὸ τῶν χρησμῶν σκοτεινόν, ἅμα δὲ πρὸς τὴν πολλὴν τῶν χρησμολόγων φλυαρίαν, οὐ χαλεπόν, ὡς ἐγῷμαι, τὴν τούτων τῶν στίχων ἀμφιβολίαν ἀποδέξασθαι. οὐ γὰρ ἂν γέλοιον ἦν, εἰ ὁ μάντις ταὐτὸ τετράκις ἐφεξῆς ὁμοίοις λογίοις [1077, 1078, 1083, 1086.] διηγήσατο, ἀλλὰ

*) *Ἐπειδὴ λέγει ὁ Στρεψιάδης ἐν ταῖς Νεφέλαις* [373]. *,τὸν Δί' ἀληθῶς ᾤμην διὰ κοσκίνου οὐρεῖν.'*

μόνον οὐ ψυχρότατον, εἰ μὴ τά γε ὕστερα λόγια ἰδίας τινὰς τοῦ γέλωτος ἀφορμὰς τοῖς θεαταῖς παρέσχεν. ἔγκειται δὲ ὁ πολὺς γέλως ἐν τῷ μὲν προτέρῳ στίχῳ ταῖς λέξεσι ‚καρκίνον ὀρθὰ βαδίζειν', ἐπεὶ εἰς τὴν κέρκον*) αἰνίττεται ὁ ποιητής. τοῖς δὲ τοῖς τοιούτοις ἐπιθετικοῖς πολλάκις ἐχρήσατο πρὸς τὸ κακέμφατον. καὶ γὰρ ἐν τῷ Λυσιστράτης στίχῳ [834] ‚ἴθ' ὀρθὴν ἥνπερ ἔρχει τὴν ὁδόν' οὐδὲν ἀλλοιότερον σημαίνεται.**) περὶ δὲ τοῦ ἐχίνου τοῦδε ἔστι τὰ δέοντα παρὰ Σηγήρου καταμανθάνειν, ὅπου τὸν ἐν τῇ Λυσιστράτῃ στίχον ‚πρώτιστα τὸν Ἐχινοῦντα καὶ τὸν Μηλιᾶ' [1169] διεξέρχεται. ὅτι δὲ γελοιότατόν τι καὶ ἀτοπώτατον ἔχρησεν ὁ μάντις, εἷς ἕκαστος τῶν Ἀθηναίων ἄνευ ὑπομνήματος συνῆκεν. οὔκουν δεῖ οὐδὲ τοὺς καθ' ἡμᾶς Ἀριστοφανικοὺς ἀκριβέστερον τά γε τοιαῦτα διδάσκειν. αὐτοὶ γάρ πώς εἰσι δωδεκαμήχανοι, ὥςτε καὶ σκοτοδασυπυκνότριχος λόγου μάλ' εὐχερῶς ἐφάψεσθαι. σὺ δ' ὦ φίλη κεφαλή, οὖλε καὶ μάλα χαῖρε.

---

*) *Ἰδὲ τοὺς ἐν Θεσμ.* [239] *καὶ Ἀχαρν.* [785—787] *στίχους, ἐν οἷς τοῦτο τὸ ὄνομα εὑρίσκεται.*

**) *Ταὐτὸ σημαίνει τοῦτο τὸ ἐπιθετικὸν ἔν τισι τῶν Ἐκκλ.* [741, 916] *καὶ τῶν Ὀρν.* [489] *στίχοις.* D. v. l. 24.

ΤΥΠΟΙΣ ΜΑΪΗΡΟΥ ΕΝ ΒΙΕΝΝΗι.